# *ΗΡΩϹ*

*ΓΕΤΑϹ*

κακόν τι Δᾶέ μοι δοκεῖϲ πεποηκέναι
παμμέγεθεϲ, εἶτα προϲδοκῶν ἀγωνιᾷ̣ϲ
μυλῶνα ϲαυτῶι καὶ πέδαϲ· εὔδηλοϲ εἶ.
τί γὰρ ϲὺ κόπτειϲ τὴν κεφαλὴν οὕτω πυκνά;
τί τὰϲ τρίχαϲ τίλλειϲ ἐπιϲτάϲ; τί ϲτένειϲ;

(*ΔΑΟϹ*)
οἴμοι.

*Γετ.* τοιοῦτόν ἐϲτιν, ὦ πόνηρε ϲύ.
εἶτ' οὐκ ἐχρῆν, κερμάτιον εἰ ϲυνηγμένον
ϲοὶ τυγχάν]ε̣ι̣ τ̣ι, τοῦτ' ἐμοὶ δοῦναι τέωϲ
]τα̣ κατὰ ϲεαυτὸν πράγματα
ϲ]υνάχθομαί γε ϲοι
]ηρα̣.

*Δα.* ϲὺ μὲν οὐκ οἶδ' ὅ τι
ληρεῖϲ. (8–10 litt.) π]έπλεγμαι πράγματι
] ἔφθαρμαι, Γέτα.

(*Γετ.*) .]

[*Δα.*] μὴ καταρῶ, πρὸϲ ⟨τῶν⟩ θεῶν,
ἐρῶντι.]

[*Γετ.*] τί ϲὺ λέγειϲ; ἐρᾷϲ;

*Δα.* ἐρῶ.

(*Γετ.*) πλέον δυοῖν ϲοι χοινίκων ὁ δεϲπότηϲ
παρέχει. πονηρόν, Δᾶ'· ὑπερδειπνεῖϲ ἴϲωϲ.